σκουσα καὶ πιαίνουσα τὸ κακόηθες. ὡς γὰρ ὄρνις ἐν οἰκίᾳ πολλάκις τροφῆς παρακειμένης εἰς γωνίαν καταδῦσα σκαλεύει,

‘ἔνθα γέ που διαφαίνεθ᾽ ἅτ᾽ ἐν κοπρίῃ μία κριθή,’

παραπλησίως οἱ πολυπράγμονες, ὑπερβάντες τοὺς ἐν μέσῳ λόγους καὶ ἱστορίας καὶ ἃ μηδεὶς κωλύει πυνθάνεσθαι μηδ᾽ ἄχθεται πυνθανομένοις, τὰ κρυπτόμενα καὶ λανθάνοντα κακὰ πάσης οἰκίας ἐκλέγουσι. καίτοι τό γε τοῦ Αἰγυπτίου E
χάριεν πρὸς τὸν ἐρωτῶντα τί φέρει συγκεκαλυμμένον, ‘διὰ τοῦτο συγκεκάλυπται’· καὶ σὺ δὴ τί πολυπραγμονεῖς τὸ ἀποκρυπτόμενον; εἰ μή τι κακὸν ἦν, οὐκ ἂν ἀπεκρύπτετο. καίτοι μὴ κόψαντά γε θύραν εἰς οἰκίαν ἀλλοτρίαν οὐ νομίζεται παρελθεῖν, ἀλλὰ νῦν μὲν εἰσὶ θυρωροί, πάλαι δὲ ῥόπτρα κρουόμενα πρὸς ταῖς θύραις αἴσθησιν παρεῖχεν, ἵνα μὴ τὴν οἰκοδέσποιναν ἐν μέσῳ καταλάβῃ ὁ ἀλλότριος ἢ τὴν παρθένον ἢ κολαζόμενον οἰκέτην ἢ κεκραγυίας τὰς θεραπαινίδας· ὁ δὲ πολυπράγμων ἐπ᾽ αὐτὰ ταῦτα παραδύεται, σώφρονος μὲν οἰκίας καὶ καθεστώσης οὐδ᾽ ἂν F
παρακαλῇ τις ἡδέως γινόμενος θεατής, ὧν δ᾽ ἕνεκα κλεὶς καὶ μοχλὸς καὶ αὔλειος, ταῦτ᾽ ἀνακαλύπτων καὶ φέρων εἰς τὸ μέσον ἑτέροις. καίτοι καὶ ‘τῶν ἀνέμων μάλιστα δυσχεραίνομεν’ ὡς Ἀρίστων φησίν (St. V. Fr. I 401), ‘ὅσοι τὰς περιβολὰς ἀναστέλλουσιν ἡμῶν’· ὁ δὲ πολυπράγμων οὐ τὰ ἱμάτια τῶν πέλας οὐδὲ τοὺς χιτῶνας, ἀλλὰ τοὺς τοίχους ἀπαμφιέννυσι, τὰς θύρας ἀναπετάννυσι, καὶ ‘διὰ